SAMPLE

4. Aeneas Tacticus 7-10. Aeneas Tacticus explains the stratagem used to neutralize and defeat revolutionaries in Argos.

7 Πρὸς δὲ ἀντιστασιώτας τοιόνδε ἐπράχθη ἐν Ἄργει.
μελλόντων γὰρ τῶν πλουσίων τὴν δευτέραν ἐπίθεσιν
ἐπιτίθεσθαι τῷ δήμῳ καὶ ξένους ἐπαγομένων, ὁ τοῦ
δήμου προστάτης, προαισθόμενος τὸ μέλλον, τῶν
ἐπιθησομένων τινὰς τῶν ὑπεναντίων ὄντων τῷ
δήμῳ ἄνδρας δύο προσποιησάμενος φίλους εἶναι
ἀπορρήτους, πολεμίους αὑτῷ[1] καθίστησιν αὐτοὺς
καὶ ἐποίει κακῶς ἐν τῷ φανερῷ, σιγῇ δὲ τὰ[2] ἐκ
τῶν ἐναντίων βουλεύματα ἤκουεν παρ᾽ αὐτῶν.
8 ἐπεὶ δ᾽ ἐν τῷ εἰσάγεσθαι τοὺς ξένους ἦσαν οἱ
πλούσιοι, ἅμα δὲ καὶ τῶν ἐν τῇ πόλει τινὲς ἦσαν
ἕτοιμοι, καὶ εἰς τὴν ἐπιοῦσαν νύκτα ἔμελλεν τὸ
ἔργον ἔσεσθαι, ἔδοξε τῷ τοῦ δήμου προστάτῃ· τὴν[3]
ταχίστην ἐκκλησίαν συναγαγεῖν καὶ τὸ μέλλον μὴ
προειπεῖν, ἵνα μὴ πᾶσα ἡ πόλις ταραχθῇ, εἰπόντα[4]
δὲ ἄλλα τε καὶ ὅτι συμφέρον εἴη ἐν τῇ ἐπιούσῃ
νυκτὶ σὺν τοῖς ὅπλοις πάντας Ἀργείους[5] παρεῖναι
9 ἐν τῇ αὑτοῦ[6] φυλῇ ὄντας ἕκαστον.[7] ἐὰν δέ τις
ἄλλως[8] ἐκθῆται τὰ ὅπλα ἢ ἄλλῃ ἐξενεγκάμενος
φανῇ, ὡς προδότης καὶ ἐπιβουλεύων τῷ δήμῳ
10 πασχέτω τι. τοῦτο δὴ αὐτὸ ἵνα κατὰ τὰς φυλὰς
ὄντες οἱ πλούσιοι μὴ δύνωνται εἰς ταὐτὸ ἀθροι-
σθέντες μετὰ τῶν ξένων ἐπιθέσθαι, ἀλλ᾽ ἐν ταῖς
φυλαῖς ὄντες διακεχωρισμένοι ὦσιν ἐν πολλοῖς
ὀλίγοι φυλέταις. καλῶς δὲ δοκεῖ καὶ ἀγχινόως
μετ᾽ ἀσφαλείας διαλῦσαι τὸ μέλλον.

ξένους = mercenaries
ἀπορρήτους = secret
ἀθροισθέντες = to gather
ἀγχινόως = ingenious